UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Nicolai Cavssini Trecensis, E Societate Iesv, De Eloqventia Sacra Et Hvmana Libri XVI

**Caussin, Nicolas**

**Coloniae Agrippinae, 1634**

Item obiurgatio.

urn:nbn:de:hbz:466:1-70090

Visual Library

δεῖ· ἀλλ' εἰς τοῦτο ἀφῖχθε μωρίας, ἢ παρανοίας, ἢ οὐκ ἔχω τί λέγω, (πολλάκις γὰρ ἔμοιγε ἐπελήλυθε, καὶ τοῦτο φοβεῖσθαι, μή τι δαιμόνιον τὰ πράγματα ἐλαύνῃ) ὡς λοιδορίας, ἢ φθόνου, ἢ σκώμματος ἕνεκ' ἢ ἧς ἄν τινος ἂν τύχηται αἰτίας ἀνθρώπους μισθωτούς, (ὧν οὐδ' ἂν ἀρνηθεῖεν ἔνιοι ὡς οὐκ εἰσὶ τοιοῦτοι,) λέγειν κελεύετε, καὶ γελᾶτε ἄν τισι λοιδορηθῶσι· καὶ οὐχὶ τοῦτο πω δεινόν, καίπερ ὂν δεινόν, ἀλλὰ καὶ μετὰ πλείονος ἀσφαλείας πολιτεύεσθαι δεδώκατε τούτοις, ἢ τοῖς ὑπὲρ ὑμῶν λέγουσι.

sed in eam stultitiam venistis, aut delirium, aut nescio quid dicam (sæpe enim illud etiam veteri mihi subit, ne quod numen res agitet) vt conuitij, aut inuidiæ, aut dicterij gratia, quæcunque vobis causa in mentem inciderit; homines mercenarios, (quorum quidam haud negaturi sunt se esse tales) dicere iubeatis: & rideatis, si quibus conuitia fecerint. Neque dum hoc graue est, quanquam graue: sed & illud eis dedistis, vt minore cum periculo Rempubl. gerant, quàm vestri defensores.

---

## ITEM OBIVRGATIO.

### In qua descriptio antiquorum morum, quos cum nouis comparat.

*Si comparentur ea, quæ Isocrates habet in eodem argumento, venationis videbuntur, & ludorum: hæc iusti prælij.*

Olinth. 3.

Ἐκεῖνοι τοίνυν οἷς ἐχαρίζονθ' οἱ λέγοντες, οὐδ' ἐφίλουν αὐτοὺς ὥσπερ ὑμᾶς οὗτοι νῦν, πέντε μὲν καὶ τετταράκοντα ἔτη τῶν Ἑλλήνων ἦρξαν ἑκόντων· πλείω δ' ἢ μύρια τάλαντα εἰς τὴν ἀκρόπολιν συνήγαγον· ὑπήκουε δ' ὁ ταύτην ἔχων τὴν χώραν αὐτοῖς βασιλεύς, ὥσπερ ἐστὶ προσῆκον, βάρβαρον Ἕλλησι· πολλὰ δὲ καὶ καλά, καὶ πεζῇ, καὶ ναυμαχοῦντες ἔστησαν τρόπαια αὐτοὶ στρατευόμενοι, μόνοι δ' ἀνθρώπων, κρείττω τὴν ἐπὶ τοῖς ἔργοις δόξαν τῶν φθονούντων κατέλιπον· ἐπὶ μὲν δὴ τῶν ἑλληνικῶν ἦσαν τοιοῦτοι· ἐν δὲ τοῖς κατὰ τὴν πόλιν αὐτήν, θεάσασθε ὁποῖοι ἔν τε τοῖς κοινοῖς, καὶ τοῖς ἰδίοις. δημοσίᾳ μὲν τοίνυν οἰκοδομήματα, καὶ κάλλη τοιαῦτα, καὶ τοσαῦτα κατεσκεύασαν ἡμῖν ἱερῶν, καὶ τῶν ἐν τούτοις ἀναθημάτων, ὥστε μηδενὶ τῶν ἐπιγιγνομένων ὑπερβολὴν λελεῖφθαι. ἰδίᾳ δ' οὕτω σώφρονες ἦσαν, καὶ σφόδρα ἐν τῷ τῆς πολιτείας ἤθει μένοντες, ὥστε τὴν Ἀριστείδου, καὶ τὴν Μιλτιάδου, καὶ τῶν τότε λαμπρῶν οἰκίαν εἴ τις ἄρα οἶδεν ὑμῶν ὁποία ποτ' ἐστίν, ὁρᾷ τῆς τοῦ γείτονος οὐδὲν σεμνοτέραν οὖσαν. οὐ γὰρ εἰς περιουσίαν ἐπράττετο αὐτοῖς τὰ τῆς πόλεως, ἀλλὰ τὸ κοινὸν αὔξειν ἕκα-

ILli igitur, quibus non adulabantur Oratores, quos non ita amabant, vt vos isti nunc quinque & sexaginta annos Græcis volentibus imperarunt: amplius decies mille talenta in arcem congesserunt, & regem istius prouinciæ dicto audientem habuerunt, sicut æquum est parere Græcis barbarum: & multa præclaraque trophæa terra, marique parta erexerunt, cùm ipsi militarent, & soli mortalium eam rerum gestarum gloriam, ad quam nullus inuidiæ pateret aditus, reliquerunt. Ac in tuenda Græcia fuere tales. In ipsa verò vrbe, spectate quales & publicis, & priuatis in rebus se præbuerint. Publicè igitur ædificia, & ornamenta talia, & tanta instruxere nobis fanorum, & quæ his continentur donariorum, vt nihil addi possit à posteris ad illorum excellentiam. Priuatim autem adeò modesti fuerunt, & tanta cura institutum Reipub. obseruarunt, vt si quis fortè vestrûm Aristidis, & Miltiadis, & illius ætatis illustrium hominum ædes nouit, cuiusmodi sint, vicini ædibus nihilo esse splendidiores videat. Neque enim rei familiaris amplificandæ gratia Rempublicam gerebant, sed quisque sibi rem communem augendam esse putabat. Cum autem res Græcorum fideliter, religionem Deorum immortalium piè, commercia inter ipsos æquabiliter admi-

UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

στος ᾤετο δεῖν· ἐκ δὲ τοῦ τὰ μὲν ἑλληνικὰ πιστῶς, τὰ δὲ πρὸς τοὺς θεοὺς εὐσεβῶς, τὰ δὲ ἐν αὐτοῖς ἴσως διοικεῖν, μεγάλην εἰκότως ἐτήσαντο εὐδαιμονίαν. τότε μὲν δὴ τοῦτον τὸν τρόπον εἶχε τὰ πράγματα ἐκείνοις χρωμένοις, οἷς εἶπον, προστάταις.

administrarent, non iniuria magnam sibi fœlicitatem pepererunt: Tunc igitur ad hunc modum, dum illi, quos dixi, summæ Reipublicæ præerant, se res habuerunt.

*(Deinde ad sua tempora descendit)*

Olynth 3. Νυνὶ δὲ πῶς ὑμῖν ὑπὸ τῶν χρηστῶν τῶν νῦν πράγματα ἔχει, ἆρα γε ὁμοίως, καὶ παραπλησίως; καὶ τὰ μὲν ἄλλα σιωπῶ, πολλ᾽ ἂν ἔχων εἰπεῖν, ἀλλ᾽ ὅσης ἅπαντες ὁρᾶτε ἐρημίας ἐπειλημμένοι, καὶ λακεδαιμονίων μὲν ἀπολωλότων, θηβαίων δὲ ἀσχόλων ὄντων, τῶν δὲ ἄλλων οὐδενὸς ὄντος ἀξιόχρεω περὶ τῶν πρωτείων ἡμῖν ἀντιτάξασθαι. Ἐξὸν δὲ ἡμῖν, καὶ τὰ ἡμέτερα αὐτῶν ἀσφαλῶς ἔχειν, καὶ τὰ τῶν ἄλλων δίκαια βραβεύειν, ἀπεστερήμεθα μὲν χώρας οἰκείας, πλείω δὲ ἢ χίλια, καὶ πεντακόσια τάλαντα ἀνηλώκαμεν εἰς οὐδὲν δέον· οὓς δὲ ἐν τῷ πολέμῳ συμμάχους ἐκτησάμεθα, εἰρήνης οὔσης ἀπολωλέκασιν οὗτοι. ἐχθρὸν δὲ ἐφ᾽ ἡμᾶς αὐτοὺς τηλικοῦτον ἰσκήκαμεν.

NVNC dum leues isti præsunt, quis rerum vestrarum status est? Idémne, & similis? ac cætera quidem taceo, cùm haberem multa dicere. Sed quanquam in tantam incidimus solitudinem, quantam videtis omnes, eum Lacedæmonij perierint, & Thebani occupati sint, & cæterorum nemo tantas vires habeat, vt nobiscum de principatu contendere ausit: cumque nobis liceret, & priuata nostra sine periculo tenere, & reliquorum controuersias disceptare: tamen priuati sumus nostra prouincia, & amplius mille & quingenta talenta nullo cum fructu insumpsimus, & quos in bello socios parauimus, hi pacis tempore perierunt, & hostem contra nosmetipsos tantùm instruximus.

---

ITEM OBIVRGATIO GRAVIS, ET SERIA.

Philipp. 4. Ὑμεῖς τοίνυν οὔτ᾽ ἀκούειν πρὶν ἄν, ὥσπερ νῦν, αὐτὰ παρῇ τὰ πράγματα, οὔτε βουλεύεσθαι περὶ οὐδενός, εἰώθατε ἐφ᾽ ἡσυχίας. ἀλλ᾽ ὅταν μὲν ἐκεῖνος παρασκευάζηται ἐφ᾽ ὑμᾶς, ἀμελήσαντες τοῦ ποιεῖν τοῦτο, καὶ ἀντιπαρασκευάζεσθαι, ῥαθυμεῖτε, καὶ ἐάν τι λέγῃ τις, ἐκβάλλετε. ἐπειδὰν δὲ ἀπολωλὸς, ἢ πολιορκούμενόν τι πύθησθε, τηνικαῦτ᾽ ἀκροᾶσθε, καὶ παρασκευάζεσθε. ἦν δὲ ἀκούειν ἔτι μὲν, καὶ βουλεύεσθαι τότε καιρὸς, ὅθ᾽ ὑμεῖς οὐκ ἠθελήσατε. πράττειν δὲ καὶ χρῆσθαι τοῖς παρεσκευασμένοις, νῦν ἡνίκ᾽ ἀκούετε. τοιγαροῦν ἐκ τῶν τοιούτων ἐθῶν, μόνοι τῶν πάντων ἀνθρώπων ὑμεῖς τοὐναντίον τοῖς ἄλλοις ποιεῖτε. οἱ μὲν γὰρ ἄλλοι πάντες ἄνθρωποι, πρὸ τῶν πραγμάτων εἰώθασι χρῆσθαι τῷ βουλεύεσθαι. ὑμεῖς δὲ μετὰ τὰ πράγματα.

VOs autem nec audire, priusquam res ipsæ adsint, vt nunc: nec vlla de re deliberare soletis per otium: sed cum ille se contra vos instruit, idem agere, & vicissim instrui cessatis, & si quis aliquid tale dixerit, eijcitis. Postquam autem perijsse, aut obsideri aliquid intellexistis: tum demùm auditis, & instruimini. Fuisset autem audiendi tempus, & comparandi sese, tum, cum vos noluistis: rei autem gerendæ, & vtendi apparatu, nunc cùm auditis. Itaque his moribus soli mortalium omnium, contrà quàm alij solent, factitatis. Nam omnes alij homines ante negotia deliberare solent: vos post negotia.